## XXVIII

τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβανωτοῦ,
τόν ποτε μηδ' αὐτοῦ Ζηνὸς ἀποσχόμενον;
ὀψέ ποθ' Ἡφαίστῳ κεῖται σκοπός, ὃν καθορᾶσθαι
ἔπρεπεν οὐκ ἄλλως ἢ πυρὶ τυφόμενον.

## XXIX

εὐάγρει, λαγόθηρα, καὶ εἰ πετεεινὰ διώκων
ἰξευτὴς ἥκεις τοῦθ' ὑπὸ δισσὸν ὄρος,
κἀμὲ τὸν ὑλωρὸν ἀπὸ κρημνοῖο βόασον
Πᾶνα· συναγρεύω καὶ κυσὶ καὶ καλάμοις.

## XXX

ἄστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα Σελήνης
ἄξονα δινήσας ἔμπυρον Ἠέλιος,
ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος
λαμπρότατον Μουσέων φέγγος ἀνασχόμενος.

## XXXI

πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ
θάεο δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
ὡς ὁ γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς
ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν,